## ΩΣΗΕ

1 [1]Λόγος κυρίου, ὃς ἐγενήθη πρὸς Ωσηε τὸν τοῦ Βεηρι ἐν ἡμέραις
Οζιου καὶ Ιωαθαμ καὶ Αχαζ καὶ Εζεκιου βασιλέων Ιουδα καὶ
ἐν ἡμέραις Ιεροβοαμ υἱοῦ Ιωας βασιλέως Ισραηλ.
2 [2]Ἀρχὴ λόγου κυρίου πρὸς Ωσηε· καὶ εἶπεν κύριος πρὸς Ωσηε
Βάδιζε λαβὲ σεαυτῷ γυναῖκα πορνείας καὶ τέκνα πορνείας, διότι ἐκ-
3 πορνεύουσα ἐκπορνεύσει ἡ γῆ ἀπὸ ὄπισθεν τοῦ κυρίου. [3]καὶ ἐπο-
ρεύθη καὶ ἔλαβεν τὴν Γομερ θυγατέρα Δεβηλαιμ, καὶ συνέλαβεν καὶ
4 ἔτεκεν αὐτῷ υἱόν. [4]καὶ εἶπεν κύριος πρὸς αὐτόν Κάλεσον τὸ ὄνομα
αὐτοῦ Ιεζραελ, διότι ἔτι μικρὸν καὶ ἐκδικήσω τὸ αἷμα τοῦ Ιεζραελ
5 ἐπὶ τὸν οἶκον Ιου καὶ καταπαύσω βασιλείαν οἴκου Ισραηλ· [5]καὶ
ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συντρίψω τὸ τόξον τοῦ Ισραηλ ἐν τῇ
6 κοιλάδι τοῦ Ιεζραελ. — [6]καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν θυγατέρα.
καὶ εἶπεν αὐτῷ Κάλεσον τὸ ὄνομα αὐτῆς Οὐκ-ἠλεημένη, διότι οὐ
μὴ προσθήσω ἔτι ἐλεῆσαι τὸν οἶκον τοῦ Ισραηλ, ἀλλ' ἢ ἀντιτασσό-
7 μενος ἀντιτάξομαι αὐτοῖς. [7]τοὺς δὲ υἱοὺς Ιουδα ἐλεήσω καὶ σώσω
αὐτοὺς ἐν κυρίῳ θεῷ αὐτῶν καὶ οὐ σώσω αὐτοὺς ἐν τόξῳ οὐδὲ
ἐν ῥομφαίᾳ οὐδὲ ἐν πολέμῳ οὐδὲ ἐν ἅρμασιν οὐδὲ ἐν ἵπποις οὐδὲ
8 ἐν ἱππεῦσιν. — [8]καὶ ἀπεγαλάκτισεν τὴν Οὐκ-ἠλεημένην καὶ συν-
9 έλαβεν ἔτι καὶ ἔτεκεν υἱόν. [9]καὶ εἶπεν Κάλεσον τὸ ὄνομα αὐτοῦ
Οὐ-λαός-μου, διότι ὑμεῖς οὐ λαός μου, καὶ ἐγὼ οὐκ εἰμὶ ὑμῶν.
**2** [1]Καὶ ἦν ὁ ἀριθμὸς τῶν υἱῶν Ισραηλ ὡς ἡ ἄμμος τῆς θαλάσσης,
ἣ οὐκ ἐκμετρηθήσεται οὐδὲ ἐξαριθμηθήσεται· καὶ ἔσται ἐν τῷ τόπῳ,

Duodecim prophetarum minorum ordo graecus differt ab hebraico: sex priores in 𝔊 sunt Os. Am. Mich. Ioel Abd. Ion., in 𝔐 (et *LC*) Os. Ioel Am. Abd. Ion. Mich.; sex posteriores in ambis eundem tenent ordinem Nah. Hab. Soph. Agg. Zach. Mal.

Duodecim prophetae: BA et inde ab Ioel S. — Q = „codex Marchalianus" (Vat. gr. 2125); huius codicis fere semper primam tantum manum adfero. — W (inde ab Am.) = The Minor Prophets in the Freer Collection ed. Henry A. Sanders (University of Michigan Studies, Humanistic Series vol. 21, New York 1927); hic codex multis locis mutilus est. — *L* (i. e. Luciani recensio) = 22 (36) 48 51 et saepe 62 147; *C* (i. e. Catena) = 87 91 (97 490) et interdum Q$^{c}$.

Os. inscr.] + α' A: duodecim prophetae numerantur in BA (et SW); B omittit primum numerum, sed cf. subscr.

**1** 1 αχας B†: cf. Regn. IV 16 2 | υιου] pr. του A || 2 προς 1$^{0}$] εν BQ | βαδιζε > A† || 4 ιου uel ιηου scripsisse uid. *OL* (cf. Regn. IV 9 2 III 16 1); ιουδα BAQ*C* || 5 τη ult. > B || 6 του > B*LC* || 7 ιουδα > B† | ουδε quinquies] ουτε A | ουδε εν αρμασιν > B*L*